662 Il tipo gretto ***

I Greci chiamavano ἀνελεύθερος chi, avendo comportamenti «indegni di un uomo libero», rivelava la sua grettezza.

Particolarità sintattiche: part. congiunto; genitivo assoluto; prop. relativa, temporale, finale, infinitiva.

Ἡ δὲ ἀνελευθερία ἐστὶν ἀπουσία τις φιλοτιμίας δαπάνην ἐχούσης, ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις, οἷος[1] νικήσας τραγῳδοῖς ταινίαν ἀναθεῖναι ξυλίνην τῷ Διονύσῳ ἐπιγράψας μόνον αὐτοῦ τὸ ὄνομα[2]. Καὶ ἐπιδόσεων γινομένων ἐκ τοῦ δήμου, ἀναστὰς σιωπῇ ἐκ τοῦ μέσου ἀπελθεῖν. [...] Καὶ τριηραρχῶν τὰ τοῦ κυβερνήτου στρώματα αὐτῷ ἐπὶ τοῦ καταστρώματος ὑποστορέννυσθαι, τὰ δὲ αὐτοῦ ἀποτιθέναι. Καὶ τὰ παιδία δὲ δεινὸς μὴ πέμψαι εἰς διδασκάλου, ὅταν ᾖ Μουσεῖα[3], ἀλλὰ φῆσαι κακῶς ἔχειν, ἵνα μὴ συμβάλωνται. Καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας τὰ κρέα αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ. Καὶ ἔνδον[4] μένειν, ὅταν ἐκδῷ θοἰμάτιον ἐκπλῦναι[5]. Καὶ φίλου ἔρανον συλλέγοντος καὶ διειλεγμένου αὐτῷ, προσιόντα προδόμενος ἀποκάμψας ἐκ τῆς ὁδοῦ τὴν κύκλῳ οἴκαδε πορευθῆναι. [...] Καὶ τὰ ὑποδήματα παλιμπήξει κεκαττυμένα φορεῖν καὶ λέγειν, ὅτι· "Κέρατος οὐδὲν διαφέρει".

TEOFRASTO

1 οἷος: quest'espressione «capace di ...» regge tutta una serie di infiniti che troverai nel corso della versione.
2 νικήσας ... ὄνομα: era usanza che il CIV ➜ corego, dopo il buon esito di un concorso alle CIV ➜ Grandi Dionisie, dedicasse al dio un tripode di bronzo. La persona gretta ricorre, evidentemente, a dediche meno dispendiose.
3 Μουσεῖα: «la festa delle Muse», in cui era usanza mandare i figli a scuola con qualche dono per il maestro.
4 ἔνδον: «a casa».
5 ὅταν ... ἐκπλῦναι: il tipo gretto, evidentemente, possiede un solo abito!

Traduzione: .....